A πευτικὴν, καὶ κολακευτικὴν, ἥπερ τοὺς φίλους προσφωνοῦντες ἐχρῶντο. δηλοῖ δὲ ταῦτ᾽ τῷ λέγοντι πρὸς ἄλλον, ὦ πολλὴν χάριν ἔχων, ὦ χαριέστατε, ὦ φίλτατε, καὶ πλείστης χάριτος ἔμπλεε. ταύτης δὲ τῆς λέξεως, καὶ τῶν αὐτῆς σημασιῶν, οὐδεὶς, ὡς ἴσμεν, εἴη βεβαιωτής. ταύτῃ μέντοι πάλιν ὁ ποιητὴς ἐν τοῖς ἑξῆς κέχρηται. Αἶκεν ἴδον ἁμᾶς.] εἴκεν ἴδον ἡμᾶς ἄνδρες ἀναπεφλασμένους. ἤγουν τὰ αἰδοῖα ἀνατεταμένα ἔχοντας. ἀναφλᾶν γὰρ λέγουσιν οἱ Ἀττικοὶ, ὡς Ἡσύχιος γράφει, τὸ ἀναμαλάσσειν τὰ αἰδοῖα. αἶκεν δὲ, ἁμᾶς, καὶ ἀναπεφλασμένως, Δωρικῆς καὶ Λακωνικῆς εἰσὶ διαλέκτου. ἅπερ κοινῶς, εἴκεν, ἡμᾶς, καὶ ἀναπεφλασμένους. B

CHR. Τῶν ἑρμοκοπιδῶν.] Hermarum mutilatores dicti fuerunt Hermocopidæ, hoc factum Athenis, tempore Peloponnesiaci belli Arimnesto Archonte, cùm in Siciliam nauigare vellent: Alcibiades teste Plutarcho in illius vita, cum suis consortibus falso crimine dictus est ἑρμοκοπίδης. Sanè eruditus scriptor inter Christianos Arnobius hominum fuisse formas ait & Hermas Alcibiadis nuncupat. lib. 6. contra Ethnicos. Eos autem Hermocopidas signorum violatores interpretatus est apud Plutarchum Cruserius, non satis, vt arbitror signatis vocabulis. Pausanias ait in συναγωγῇ Atticorum nominum sic vocatos qui Mercurij statuis, quas Hermas vocat, collum & pudenda præcidissent. Meminit Thucydides ξυγγραφῇ sexta, & annotat illa Scholiastes ipsius, citatque ipsum Pausaniam auctorem in vocabulo-B rum Atticorum collecto compendio. Φέρε τὸ εἶδος.] Legendum hic τὸ ἔσθος facilè diuinaueram sine codice Veneto. At πολυχαρείδαν vsurpat pro Atheniensi. Quia teste Hesychio sic vocabatur Athenis δῆμος ἐξ οὗ ἱερεὺς τοῦ κραναοῦ. Ἀναπεφασμένως.] Potior est lectio Venetæ editionis quæ habet ἀναπεφλασμένως, neque tamen alteram reiiciendam puto. nam πεφασμένως qua est vsus voce Lysias, est φανερῶς.

C

Λα. Ναὶ τὼ σιὼ καλεῖτε τὴν Λυσιστράταν.
Χο. Γυν. Ἀλλ᾽ οὐδὲν ἡμᾶς ὡς ἔοικε δεῖ καλεῖν.
Αὕτη γὰρ ὡς ἤκουσεν ὑμῶν ἐξέρχεται.
Χαῖρ᾽ ὦ πασῶν ἀνδρειοτάτη. δεῖ δὴ νυνί σε γενέσθαι
Δεινὴν. ἀγαθὴν. φαύλην. σεμνήν. ἀγανήν. πολύπειρον
D Ὡς οἱ πρῶτοι τῶν Ἑλλήνων τῇ σῇ ληφθέντες ἴυγγι,
Συνεχώρησαί σοι καὶ κοινῇ τἀγκλήματα πάντ᾽ ἐπέτρεψαν.
Λυ. Ἀλλ᾽ οὐχὶ χαλεπὸν τοὔργον εἰ λάβοι γέ τις
Ὀργῶντας, ἀλλήλων τε μὴ πειρωμένους.
Τάχα δ᾽ εἴσομαι ᾽γὼ, ποῦ ᾽στιν ἡ διαλλαγή.
E Χο. Πρόσαγε λαβοῦσα πρῶτα τοὺς Λακωνικούς.
Καὶ μὴ χαλεπῇ τῇ χειρὶ μηδ᾽ αὐθαδικῇ.
Μήθ᾽ ὥσπερ ἡμῶν ἄνδρες ἀμαθῶς τοῦτ᾽ ἔδρων
Ἀλλ᾽ ὡς γυναῖκας εἰκὸς οἰκείως πάνυ,
Ἢν μὴ διδῷ τὴν χεῖρα, τῆς σάθης ἄγε.
Ἴθι καὶ σὺ τούτους τοὺς Ἀθηναίους ἄγε
Οὗ δ᾽ ἂν διδῶσι, πρόσαγε τούτους λαβομένη.

LAC. *Pol huc vocate, & si lubet, Lysistratum.*
CH. MVL. *Sed nil necesse est hanc vocari, nam simul*
*Vestram aure vocem accepit, egredi incipit.*
*O salue mulier fortissima, certe nunc te decet esse*
*Formidandam atque bonam, prauam atque grauem, placidam atque peritam,*
*Nam flos Græcæ nobilitatis virtute tua inlice capti*
*In te vnâ spes nostras, & communes posuere querelas.*
LVS. *Sed facilis est res, si tamen possunt capi*
*Rigente neruo, nec calentes inuicem:*
*Intelligam mox Pacis & locum & modum.*
CH. *Duc & prehende Principes Laconicos,*
*Sed non moleste aut arroganter, nec velut*
*Nostri solebant, hoc inurbane viri,*
*Sed beneuole omnino, vt decet nos fœminas*
*Si quis manum non præbeat, duc mentula.*
*Athenienses deinde & istos accipe,*
*Et proxima illos parte ducens quam dabunt.*

F

BISETVS. Τῇ σῇ ἴυγγι.] τῷ σῷ πόθῳ. τῇ σῇ θελήσει. ἴυγξ, τὸ ὄρνεον, τὸ λεγόμενον σεισοπυγὶς, καὶ κιναίδιον. καὶ τὴν ἴυγγα φησὶ Καλλίμαχος Ἠχοῦς θυγατέρα. φαρμακεύειν δὲ τὸν Δία, ὅπως ἂν αὐτῇ μιχθῇ. ὅθεν ὑπὸ τῆς Ἥρας εἰς ὀρνιθάριον μεταβαλεῖν, καὶ συνεργεῖν ταῖς φαρμακείαις. ὅθεν καὶ ἴυγξ λέγεται τὸ ἐφελκὸν τὴν διάνοιαν εἰς ἐπιθυμίαν, καὶ ἔρωτα, ὅτι ὀρνεόν ἐστιν ἐπιτήδειον πρὸς τὰς τῶν φίλτρων κακίας. ἔστι δὲ καὶ ὀργάνιόν τι ἴυγξ καλούμενον, ὅπερ εἰώθασιν αἱ φαρμακίδες στρέφειν, ὡς καλακηλούμεναι τοὺς ἀγαπωμένους. Σ. καὶ τοῦτο δῆλον ἐκ τῆς Φαρμακευτρίας τοῦ Θεοκρίτου,

G
Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
καὶ ἐν ἐπιγράμματι,
Ἴυγξ ἡ κινοῦσ᾽, ἡ καὶ διαπόντιον ἄνδρα
Ἕλκειν, κ᾽ ἐκ θαλάμων παῖδας ἐπισταμένη.
ἀπὸ δὲ τοῦ ὀρνέου, καὶ τὰ κατασκευαζόμενα εἰς ἔρωτας, ἴυγγας καλοῦσιν. Συνεχώρησαν.] τὸ συγχωρεῖν ἐνταῦθα οὐ τὸ συνελθεῖν, ἀλλὰ μεταβατικῶς τὸ ἐπιτρέπειν σημαίνει, ὅπερ ὡς ἐπεξήγησις ἐπιφέρεται. ἐπιτρέπειν δέ τινι τὰ ἐγκλήματα, τουτέστι δικαστὴν τῶν ἐγκλημάτων αὐτὸν αἱρεῖσθαι. Σ. Ὀργῶντας.] ἐπιτεταμένως ἐπιθυμοῦντας ὀρεκτικῶς ἔχοντας. πειρωμένους δὲ πεῖραν λαμβάνοντας. ἢ ἀσελγῶς τοῦτο ληπτέον. πειρᾶν γὰρ, τὸ λόγους περὶ συνουσίας προσφέρειν. καὶ πειραθῆναι, τὸ ἀκοῦσαι λόγους τοιούτους. Θουκυδίδης. Πειραθεὶς δὲ ὁ Ἁρμόδιος Ἱππάρχου τοῦ Πεισιστράτου, κατηγορεῖ τῷ Ἀριστογείτονι. Σημαίνει ἡ λέξις καὶ τὸ ἄλλως διαπειρᾶσθαι. πειρᾶν γὰρ κυρίως τὸ προσβάλλειν γυναικὶ ἐπὶ τῆς ἀφροδίτης. Σ. Αὐθαδικῇ.] παρὰ τὸ αὐθάδης, ὅ ἐστιν αὐτάρεσκος, αὐτάρεστος, ὑπερόπτης, ὑπερήφανος. Σ. ἀμαθῶς δὲ, ἀπαιδεύτως, ἀκοσμήτως. οἰκείως, γνωρίμως, εὐνοϊκῶς, φιλοφρόνως. Τῆς σάθης.] σάθη, ης, τὸ μόριον. καὶ σάθων, ὑποκόρισμα ἐπὶ παιδίων ἀῤῥένων, ἀπὸ τοῦ αἰδοίου. σάθα γὰρ, ἡ σάθη, ης, τὸ αἰδοῖον. ὅθεν καὶ ἀνδροσάθων, ὁ μεγάλα ἔχων αἰδοῖα. Εὐστ. Ἡσυχ.

Ωω